νέοι τε τὰς ψυχὰς πάντες. Οὐδεμίαν γὰρ ἐν ἑαυτοῖς ἔχετε
παλαιὰν δόξαν, οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν· ἀλλ'
525A ὑμᾶς λέληθε διὰ τὸ ἐπὶ πολλὰς γενεὰς | γράμμασι τελευτᾶν
ἀφώνους[a].»

**19.** Ἀλλ', οἶμαι, καὶ διὰ τούτων κατίδοι τις ἂν ἀρχαιοπρεπῆ
τὰ Χριστιανῶν· οὔπω μὲν γὰρ γραμμάτων ἐπιστήμη παρὰ
τοῖς Ἕλλησιν ἦν, Κάδμου μόλις αὐτὰ διακομίσαντος ἐκ
Φοινίκης αὐτοῖς, πλὴν ὅτι τὰ Μωσέως ἐγέγραπτο· Σόλων δὲ ὁ
τῶν Ἀθήνησι νόμων εὑρετὴς καὶ μὴν καὶ αὐτὸς ὁ Πλάτων, ἐν
Αἰγύπτῳ γεγονότες ὑπὲρ τοῦ τι πλέον τῶν ἁπάντων εἰδέναι
δοκεῖν, πάντως που καὶ αὐτὰ τεθαυμάκασιν τὰ Μωσέως.

Ὅτι δὲ τοῖς Ἑλλήνων ἱστοριογράφοις γνωριμώτατος ἦν
Μωσῆς ἐξ αὐτῶν ὧν γεγράφασιν ἔνεστιν ἰδεῖν. Πολέμων τε
γὰρ ἐν τῇ πρώτῃ τῶν "Ἑλληνικῶν ἱστοριῶν" διεμνημόνευσεν
αὐτοῦ, καὶ Πτολεμαῖος δὲ ὁ Μενδήσιος καὶ μὴν καὶ Ἑλλάνικος
καὶ Φιλόχορος Κάστωρ τε καὶ ἕτεροι πρὸς τούτοις. Διόδωρος
B δὲ πολυπραγμονήσας τὰ Αἰγυπ|τίων ἀκηοέναι φησὶ παρὰ τῶν
αὐτόθι σοφῶν περὶ αὐτοῦ, γέγραφε δὲ ἐπὶ λέξεως οὕτως·
«Μετὰ γὰρ τὴν παλαιὰν τοῦ κατ' Αἴγυπτον βίου κατάστασιν,
τὴν μυθολογουμένην γενέσθαι ἐπὶ θεῶν καὶ ἡρώων, πεῖσαί
φασιν ἐγγράφοις νόμοις πρῶτον χρήσασθαι τὰ πλήθη ἄνδρα
καὶ τῇ ψυχῇ μέγαν καὶ τῷ βίῳ καινότατον τῶν μνημονευο-
μένων παρὰ τοῖς Ἰουδαίοις, Μωσῆν, τὸν καλούμενον θεόν.»

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417119143/30 UNIVERSITÄT LEIPZIG